# Παρακλητικός Κανών εις την Παναγία Εικοσιφοίνισσα



Εὐλογήσαντος τοῦ ἱερέως ἀρχόμεθα ἀναγινώσκοντες τὸν ΡΜΒ´ (142) Ψαλμόν. Κύριε εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσον μου ἐν τῇ δικαιοσύνῃ σου· καὶ μὴ εἰσέλθης εἰς κρίσιν μετά τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου, ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς νεκρούς αἰῶνος· καὶ ἠκηδίασεν ἐπ’ ἐμέ τὸ πνεῦμά μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχύ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τό πνεῦμά μου· μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ’ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστὸν ποίησόν μου τὸ πρωΐ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοί ἤλπισα· γνώρισόν μοι, Κύριε, ὁδόν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου· ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον. Δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεὸς μου· τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ. Ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με, ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου· καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου καί ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σού εἰμι.

Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Στίχος α´. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθός, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος

αὐτοῦ.
Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τὸ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.
Στίχος. γ΄. Παρά Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστή ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεός Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Εἶτα τὸ τροπάριον.

Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.
Τὴν ἀχειρότευκτον καὶ θείαν Εἰκόνα, τῆς Θεοτόκου προσκυνήσωμεν πάντες, καὶ πρὸς αὐτὴν ἀπὸ ψυχῆς βοήσωμεν· Δέσποινα πανύμνητε, ἀπὸ πάσης ἀνάγκης, καὶ παθῶν καὶ θλίψεων, ἀνωτέρους συντήρει, τοὺς ἀφορῶντας πίστει ἀκλινεῖ, πρὸς τὴν θερμήν Σου, ἀντίληψιν ἄχραντε.

Δόξα. Καὶ νῦν.
Ὅμοιον.
Ἀχειροποίητον ἐν χάριτι θείᾳ, τὴν Σὴν ἁγίαν Θεοτόκε Εἰκόνα, τῷ θεοφόρῳ Γερμανῷ δεδώρησαι· ᾗ πιστῶς προσπίπτοντες, ἰαμάτων δυνάμεις, ἐξ αὐτῆς λαμβάνομεν, καὶ λυτρούμεθα πάσης, ἐπιφορᾶς ἐν βίῳ χαλεπῆς, τὰ μεγαλεῖά Σου Κόρη κηρύττοντες.

Ὁ Ψαλμὸς Ν΄(50)
Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἐλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου· ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός. Σοὶ μόνῳ ἥμαρτον καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας, τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου. Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου καὶ πνεύματι

ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων, ὁ Θεὸς ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου. Κύριε τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. Ὅτι εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει. Ἀγάθυνον Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ· τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα· τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους.

Εἶτα, ὁ Κανών, οὗ ἡ ἀκροστιχίς·
Χάριν ἡμῖν, ὦ Δέσποινα δίδου. Γερασίμου.

ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ὑγρὰν διοδεύσας.
Χαρίτων ταμείων ὡς ἀληθῶς, ἡμῖν ἐδωρήσω, τῇ θερμῇ Σου ἐπισκοπῇ, τὴν ἀχειροποίητον μορφήν Σου, Θεογεννῆτορ ἁγνὴ ἀειπάρθενε.

Ἀστράπτουσα φέγγει πυροειδεῖ, ἡμῖν ἐδωρήθη, ἡ Εἰκών Σου ἡ θαυμαστή, πηγάζουσα χάριν ἰαμάτων, Θεογεννῆτορ τοῖς πίστει προστρέχουσι.

Ῥημάτων ἀκούσας Σου τῶν σεπτῶν, Γερμανὸς ὁ θεῖος, ἐξεπλάγη Σου τὴν μορφήν, ἀχειροποιήτως ἐν σανίδι, ἐκτυπωθεῖσαν ἰδὼν καὶ ἀνύμνει Σε.

Ἰσχὺν ἀσθενοῦσιν ἡ Σὴ Εἰκών, χαρὰν θλιβομένοις, καὶ τοῖς πᾶσιν ἁγιασμόν, βλύζει· διὰ τοῦτο κατὰ χρέος, Εἰκοσιφοίνισσα Κόρη ὑμνοῦμέν Σε.

ᾨδὴ γ΄. Οὐρανίας ἁψῖδος.
Νόσων σβέσον τὴν φλόγα τῷ δροσισμῷ ἄχραντε, ὃν ἡ ἀχειρότευκτος νέμει, Εἰκών Σου πάντοτε, καὶ πᾶσι βράβευσον, ψυχῆς καὶ σώματος ῥῶσιν, ὡς πηγὴ βλυστάνουσα, χάριν καὶ ἔλεος.

Ἡ σωτήριος χάρις ἡ μυστικῶς βλύζουσα, ἐκ τῆς Σῆς ἁγίας Εἰκόνος, Εἰκοσιφοίνισσα, τάχος ἐῤῥύσατο, τῆς δυστοκία γυναῖκα, τὴν ἀλλοτριόφρονα, κατάφυγοῦσάν Σοι.

Μυστικὴ μυροθήκη ὡς ἀληθῶς πέφηνεν, ἡ ἀχειρόποιητος Κόρη Εἰκών Σου Δέσποινα, τῆς Σῆς χρηστότητος, τὴν τῶν παθῶν δυσωδίαν, θᾶττον ἀπελαύνουσα, τῶν προσιόντων Σοι.

Ἱλαρῶς βλέψον Κόρη καὶ συμπαθῶς οἴκτειρον, τοὺς τῇ Σῇ ἁγίᾳ Εἰκόνι,

Εἰκοσιφοίνισσα, πίστει προστρέχοντας, καὶ τὰ αἰτήματα τούτων, πλήρου καὶ διάσωζε, πάσης κακώσεως.

Διάσωσον, Εἰκοσιφοίνισσα Κόρη πάσης ἀνάγκης, τοὺς τῇ θείᾳ ἀχειροτεύκτῳ Εἰκόνι Σου, μετ' εὐλαβείας ἑκάστοτε προσιόντας.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Αἴτησις καὶ τὸ Κάθισμα.
Ἦχος β´. Πρεσβεία θερμή.
Πηγὴ δαψιλής, Εἰκὼν ἀχειροποίητος, τῶν Σῶν οἰκτιρμῶν, ἡ Σὴ Παρθένε δέδεικται· ᾗ πίστει καταφεύγοντες, ἐκ καρδίας βοῶμέν Σοι ἄχραντε· μὴ διαλίπῃς λυτροῦσθαι ἀεί, Μονήν Σου τὴν θείαν πάσης θλίψεως.

ᾨδὴ δ´. Εἰσακήκοα Κύριε.
Νεκρὸς ἄφνω κατέπεσεν, ὁ ἐλθὼν συλῆσαι τὸν Σὸν Ἐκτύπωμα· ἀλλ' ὦ Κόρη πολυΰμνητε, ταύτην τὴν Μονήν Σου ἀεὶ φύλαττε.

Ὡς προστάτις καὶ ἔφορος, ταύτης τῆς Μονῆς Σου Εἰκοσιφοίνισσα, ἐξ αὐτῆς ἀεί ἀπότρεπε, τῶν ἀντικειμένων ἅπαν βούλευμα.

Δαιμονῶντας ὡς ἔσωσας, τῆς δεινῆς μανίας τοῦ πολεμήτορος, οὕτω σῷζε ἡμᾶς ἄχραντε, πάσης δυσχερείας καὶ κακώσεως.

Ἐκ βιαίας συντρίψεως, ὡς ἐῤῥύσω Κόρη τὸν Σὲ φωνήσαντα, συντριβῆς ἡμᾶς ἀπάλλαττε, ψυχικῆς καὶ πάσης καταπτώσεως.

ᾨδὴ ε´. Φώτισον ἡμᾶς.
Σύμπασα ἡ γῆ, Μακεδόνων τῶν θαυμάτων Σου, ἐπληρώθη ὧν ἀπαύστως ἐνεργεῖς, Θεοτόκε εὐσεβῶν εἰς περιποίησιν.

Πάσης ἀπειλῆς, ἀνωτέρους διαφύλαττε, τοὺς προστρέχοντας τῇ θείᾳ Σου Μονῇ, καὶ ζητοῦντας τὴν ἀντίληψίν Σου ἄχραντε.

Οἱ ὑπὸ δεινῶν, συνεχόμενοι παθήσεων, ἀπαλλάττονται τῆς μάστιγος ἁγνή, τῇ ἁγίᾳ Σου Εἰκόνι πίστει σπεύδοντες.

Ἴαται εὐθύς, ὦ ἁγνὴ Εἰκοσιφοίνισσα, νεανίας ἀπὸ νόσου χαλεπῆς, ὁ φωνήσας Σου τὴν κλῆσιν μετὰ πίστεως.

ᾨδὴ στ΄. Τὴν δέησιν.
Ναός Σου, ὁ ἱερὸς Θεοτόκε, ἔνθα ἵδρυται ἡ θεία Εἰκών Σου, χειμαζομένων λιμὴν ἀνεδείχθη, καὶ ἰατρεῖον πασχόντων ἑκάστοτε, Εἰκοσιφοίνισσα ἁγνή· διὰ τοῦτο ὑμνοῦμεν τὴν χάριν Σου.

Ἀφράστως, φῶς φοινικοῦν ἡ Εἰκών Σου, διαλάμπουσα ἡμῖν ἐπεδόθη, ἀχειροποίητος θείᾳ δυνάμει, Εἰκοσιφοίνισσα Κόρη πανάμωμε, ᾗ προσιόντες εὐλαβῶς, θεϊκῆς εὐφροσύνης πληρούμεθα.

Δαιμόνων, τῆς συνοχῆς ἐκλυτροῦνται, οἱ προστρέχοντες τῇ Σῇ ἀντιλήψει, καὶ θλιβερῶν, ἀναγκῶν ἐν τῷ βίῳ, οἱ τὴν Σὴν κλῆσιν φωνοῦντες πανάχραντε, Εἰκοσιφοίνισσαν· διό, χαριστήριον αἶνόν Σοι ᾄδομεν.

Ἰσχύϊ, τῆς Σῆς θερμῆς προστασίας, λυτρουμένη δυσχερείας ἁπάσης, ἡ Σὴ ἁγία Μονὴ Θεοτόκε, πρὸς Σὲ ἀεὶ ἀτενίζει κραυγάζουσα· Εἰκοσιφοίνισσα ἁγνή, μὴ ἐλλίπῃς φρουροῦσα τὴν ποίμνην Σου.

Διάσωσον, Εἰκοσιφοίνισσα Κόρη πάσης ἀνάγκης, τοὺς τῇ θείᾳ ἀχειροτεύκτῳ Εἰκόνι Σου, μετ’ εὐλαβείας ἑκάστοτε προσιόντας.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐπ’ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Αἴτησις καὶ τὸ Κοντάκιον.
Ἦχος β΄. Τοῖς τῶν αἱμάτων σου.
Ὡς θησαυρὸν τῶν πλουσίων χαρίτων Σου, τὴν ἀχειρότευκτον Κόρη Εἰκόνα Σου, πλουτοῦντες ἐκ ταύτης λαμβάνομεν, τὰς σωτηρίους Σου δόσεις ἑκάστοτε, τὴν Σὴν ἀνυμνοῦντες χρηστότητα.

Προκείμενον
Μνησθήσομαι τοῦ ὀνόματός Σου, ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.
Στίχος. Τὸ πρόσωπόν Σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

Εὐαγγέλιον.
Ἐκ τοῦ κατὰ Λουκᾶν
(Κέφ. α΄ 39-49, 56).
Ἐν ταῖς ἡμέραις ἐκείναις, ἀναστᾶσα Μαριάμ, ἐπορεύθη εἰς τὴν ὀρεινὴν μετὰ σπουδῆς, εἰς πόλιν Ἰούδα· καὶ εἰσῆλθεν εἰς τὸν οἶκον Ζαχαρίου, καὶ ἠσπάσατο τὴν Ἐλισάβετ. Καὶ ἐγένετο, ὡς ἤκουσεν ἡ Ἐλισάβετ τὸν ἀσπασμὸν τῆς Μαρίας,

ἐσκίρτησε τὸ βρέφος ἐν τῇ κοιλίᾳ αὐτῆς· καὶ ἐπλήσθη Πνεύματος Ἁγίου ἡ Ἐλισάβετ, καὶ ἀνεφώνησε φωνῇ μεγάλῃ, καὶ εἶπεν· Εὐλογημένη σὺ ἐν γυναιξὶ καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου. Καὶ πόθεν μοι τοῦτο, ἵνα ἔλθῃ ἡ μήτηρ τοῦ Κυρίου μου πρός με; Ἰδοὺ γάρ, ὡς ἐγένετο ἡ φωνὴ τοῦ ἀσπασμοῦ σου εἰς τὰ ὦτά μου, ἐσκίρτησε τὸ βρέφος ἐν ἀγαλλιάσει ἐν τῇ κοιλίᾳ μου. Καὶ μακαρία ἡ πιστεύσασα, ὅτι ἔσται τελείωσις τοῖς λελαλημένοις αὐτῇ παρὰ Κυρίου. Καὶ εἶπε Μαριάμ· Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί. Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ Δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ. Ἔμεινε δὲ Μαριὰμ σὺν αὐτῇ ὡσεὶ μῆνας τρεῖς, καὶ ὑπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς.

Δόξα.
Ταῖς τῆς Εἰκοσιφοινίσσης πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.
Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχος. Ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.
Προσόμοιον.
Ἦχος πλ. β΄. Ὅλην ἀποθέμενοι.
Ὤφθης ὡς ἠθέλησας, τῷ Γερμανῷ τῷ Ὁσίῳ, καὶ τούτῳ ὑπέδειξας, τὴν ἀχειροποίητον πρὶν Εἰκόνα Σου, ἥνπερ νῦν Δέσποινα, πίστει προσκυνοῦντες, μυστικῶς ἁγιαζόμεθα, ψυχὰς καὶ σώματα, καὶ παντὸς κινδύνου ῥυόμεθα, τῇ ταύτης θείᾳ χάριτι, καὶ ἐπηρειῶν τοῦ ἀλάστορος· ἀλλ' ὦ Θεοτόκε, ἁγνὴ Εἰκοσιφοίνισσα ἀεί, ταύτην τὴν ποίμνην Σου φύλαττε, πάσης περιστάσεως.

Σῶσον ὁ Θεός τὸν λαό σου...

Ὠδὴ ζ΄. Οἱ ἐκ τῆς Ἰουδαίας.
Δυνατὸν ἐν ἰσχύϊ ὡς τεκοῦσα Παρθένε τὸν πάντων Κύριον, δυνάμει ἀοράτῳ, λῃστὰς τοὺς ἐπελθόντας, τῇ Μονῇ Σου ἀνέτρεψας· διὸ τὴν Σὴν ἀρωγήν, ἀεὶ ὁμολογοῦμεν.

Ὁ Υἱός Σου Παρθένε ὁ τὸ πᾶν ἐκ μὴ ὄντος ὑποστησάμενος, ηὐδόκησεν ἐν ξύλῳ, τὴν ἄχραντον μορφήν Σου, μορφωθῆναι ἐν θαύματι, ἣν προσκυνοῦντες ἁγνή,

ὑμνοῦμέν Σου τὴν δόξαν.

Ὑπὸ πλήθους πταισμάτων εἰς βυθὸν ἀπωλείας πέπτωκα ἄχραντε· ἀλλὰ τῇ Σῇ προστρέχω, ταχείᾳ ἀντιλήψει, καὶ πιστῶς ἀνακράζω Σοι· ἀνάγαγέ με ἁγνή, πρὸς μετανοίας γνῶσιν.

Γέρας θεῖον Παρθένε καὶ διάδημα ὥσπερ καὶ τεῖχος ἄῤῥηκτον, τὴν θείαν Σου Εἰκόνα, πλουτοῦσα ἡ Μονή Σου, συγκαλεῖται τοὺς ἅπαντας, ὑμνολογῆσαι τὰς Σάς, πολλὰς εὐεργεσίας.

ᾨδὴ η´. Τὸν Βασιλέα.
Εἰς πᾶσαν πόλιν, καὶ χώραν Κόρη ἡ χάρις, διελήλυθε τῶν Σῶν πολλῶν θαυμάτων· πάντας γὰρ προφθάνεις, τοὺς σὲ πιστῶς φωνοῦντας.

Ῥῶσιν εὑροῦσα, Εἰκοσιφοίνισσα Κόρη, ἡ συγκύπτουσα γυνὴ τῇ Σῇ δυνάμει, στόματι εὐσήμῳ, κηρύττει Σου τὴν χάριν.

Ἀγγέλων δόξα, καὶ τῶν βροτῶν σωτηρία, τοὺς προσπίπτοντας τῇ ἀχειροποιήτῳ, Κόρη Σου Εἰκόνι, ῥύου ἐκ πάσης βλάβης.

Σκέπε Παρθένε, δυσχερειῶν ὀλεθρίων, τὴν παροῦσαν Σου Μονὴν τὴν προσκειμένην, τῇ Σῇ προστασίᾳ, ἐν θερμοτάτῃ πίστει.

ᾨδὴ θ´. Κυρίως Θεοτόκον.
Ἰάσεις ἀναβλύζει, τὸ Σὸν Θεοτόκε, ἀχειροποίητον πᾶσιν ἐκτύπωμα, καὶ εὐφροσύνην καὶ ῥῶσιν πιστοῖς ἑκάστοτε.

Μονήν Σου τὴν ἁγίαν, φύλαττε ἀπαύστως, Εἰκοσιφοίνισσα Κόρη ἐκ θλίψεων, καὶ ἐξ αὐτῆς ἀποδίωκε ἅπαν σκάνδαλον.

Οἱ πίστει προσιόντες, τῇ ἀχειροτεύκτῳ, Εἰκοσιφοίνισσα Κόρη Εἰκόνι Σου, χαριστηρίους ᾠδάς Σοι θερμῶς προσάγουσιν.

Ὑμνήσας τὰς δυνάμεις, τῆς ἀχειροτεύκτου, Εἰκοσιφοίνισσα Κόρη Εἰκόνος Σου, τὴν Σὴν αἰτοῦμαι ὁ τάλας θερμὴν βοήθειαν.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν Σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβείμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεόν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον Σέ μεγαλύνομεν.

Καὶ τὰ παρόντα Μεγαλυνάρια,
Τὴν ἀχειροποίητον καὶ σεπτήν, Εἰκόνα προθύμως, προσκυνήσωμεν ἀδελφοί, τῆς ἁγνῆς Παρθένου, ἀπὸ ψυχῆς βοῶντες· χαῖρε Θεογεννῆτορ, Εἰκοσιφοίνισσα.

Τῷ Ὁσίῳ Δέσποινα Γερμανῷ, ὤφθης παραδόξως, καὶ ὑπέδειξας τὴν σεπτήν, ἄχραντε μορφήν Σου, ἐν ξύλῳ τυπωθεῖσαν, ἀχειροπλάστως Κόρη, δυνάμει κρείττονι.

Φοινικοῦν ἐκλάμπουσα πάλαι φῶς, ἡ Εἰκών Σου Κόρη, ἐξεθάμβησε τοὺς πιστούς, ᾗ μετ' εὐλαβείας, προσπίπτοντες βοῶμεν· χαῖρε Θεοκυῆτορ, Εἰκοσιφοίνισσα.

Θαύματα Εἰκών Σου ἡ θαυμαστή, ἐνεργεῖ Παρθένε, τῇ θερμῇ Σου ἐπισκοπῇ· ὅθεν Σου τὴν χάριν, κηρύττει τὴν πλουσίαν, Μακεδονία πᾶσα, Εἰκοσιφοίνισσα.

Δεῦτε οἱ νοσοῦντες καὶ οἱ δεινοῖς, θλιβομένοις πόνοις, τῇ Εἰκόνι τῇ θαυμαστῇ, Εἰκοσιφοινίσσης, ὡς ἂν τὴν θεραπείαν, ἐκ ταύτης τὴν ταχεῖαν, πίστει κομίσησθε.

Σκέπε ἀπὸ πάσης Κόρη ὀργῆς, ταύτην τὴν Μονήν Σου, καὶ τοὺς σπεύδοντας ἐν αὐτῇ, φύλαττε ἀτρώτους, ἐκ πάσης ἐπηρείας, πληροῦσα τὰς αἰτήσεις, αὐτῶν ἑκάστοτε.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

Τὸ Τρισάγιον
Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (Τρίς).
Δόξα Πατρί, καί Υἱῶ, καὶ ἁγίῳ Πνεύματι,
καὶ νῦν, καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς· Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν· Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.
Δόξα Πατρί...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· ἐλθέτω ἡ βασιλεία σου· γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον· καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ

ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρός καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

καὶ τὰ Τροπάρια ταῦτα. Ἦχος πλ. β΄.
Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς, πάσης γὰρ ἀπολογίας ἀποροῦντες, ταύτην Σοι τὴν ἱκεσίαν, ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν, ἐλέησον ἡμᾶς.

Δόξα.
Κύριε ἐλέησον ἡμᾶς, ἐπὶ Σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν. Ἀλλ’ ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν. Σὺ γὰρ εἶ Θεός ἡμῶν καὶ ἡμεῖς λαός Σου, πάντες ἔργα χειρῶν Σου καὶ τὸ ὄνομά Σου ἐπικεκλήμεθα.

Καί νῦν.
Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν, εὐλογημένη Θεοτόκε, ἐλπίζοντες εἰς Σὲ μὴ ἀστοχήσομεν, ῥυσθείημεν διὰ Σοῦ τῶν περιστάσεων, Σὺ γὰρ ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Ἐκτενὴς καὶ Ἀπόλυσις, μεθ’ ἣν ψάλλομεν τα ἑξῆς·

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.
Πάντας, τοὺς προσπίπτοντας πιστῶς, τῇ ἀχειροτεύκτῳ Εἰκόνι, τῇ Σῇ πανάμωμε, ἥνπερ ἐθαυμάστωσεν, ἡ θεία χάρις Σου, πάσης θλίψεως λύτρωσαι, καὶ πάσης ἀνάγκης, ἅπασι παρέχουσα, τὴν Σὴν βοήθειαν· πάντων γὰρ προστάτις ὑπάρχεις, ὦ Εἰκοσιφοίνισσα Κόρη, τῶν καταφευγόντων τῇ πρεσβείᾳ Σου

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

Δι’ εὐχῶν τῶν Ἁγίων Πατέρων ἡμῶν,
Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς.
Ἀμήν.

Δίστιχον·
Φωνήν τῆν ἰκέσιον δέξαι Παρθένε
Ἢν θερμῇ πίστει σοι Γεράσιμος φέρει.